www.e-rara.ch

# Plotini Platonicorum facile coryphæi Opervm Philosophicorvm Omnivm Libri LIV. In Sex Enneades Distribvti

**Plotinus**
**Poliziano, Angelo**
**Dazzi, Andrea**
**Porphyrius**

**Basileæ, MDXXC. [1580]**

**Universitätsbibliothek Bern**

Shelf Mark: MUE Gross O 44

Persistent Link: https://doi.org/10.3931/e-rara-74031

Plotini ennead. primae liber VIII. Quae & unde sint mala.

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΠΛΩΤΙΝΟΥ

## ΕΝΝΕΑΔΟΣ Α

### ΛΟΓΟΣ Η.

# PLOTINI

## ENNEAD. PRIMAE

### LIBER VIII.

ΠΕΡΙ τοῦ τίνα, καὶ πόθεν τὰ κακά.

Quæ & vnde ſint mala.

*Quæſtiones quatuor de bono & malo.*

QVICVNQVE perquirunt, vnde mala ſiue circa res, ſiue circa aliquod rerum genus inciderint, conueniens inueſtigationis exordium facient, ſi prius quidnam ſit malum, & naturam mali proponant. Sic enim vnde venerit, vbi fundetur, cui accidat malum apparebit: atque omnino ſicubi eſt in rerum natura conſtabit. Cæterùm dubium eſt: quánã potiſſimum ex viribus quæ nobis inſunt mali naturam percipiamus? Quippe cùm cognitio ſingulorum per ſimilitudinem quandam perficiatur. Intellectus namque, & anima cum ſpecies quædam ſint, ſpecies quoque cognoſcũt, ſpeciesq; naturaliter appetunt. At verò malum nemo ſub ſpeciei ratione poteſt effingere, cùm in quadã boni totius abſentia cogitetur. Quòd ſi, quia contrariorum eadem ſcientia eſt, & bono contrarium eſt malum, ideò eadẽ boni, malique notitia erit, profectò neceſſarium eſt cognituros mala, diſcernere bonum: quãdoquidem præſtantiora ritè deteriora præcedunt: ac ſpecies antecedunt ea, quæ non ſpecies, ſed priuationes potius iudicãtur. Quæſtione rurſus dignum eſt, quónam modo bonum ſit malo contrarium. Fortè enim quoniam illud quidẽ primum eſt, hoc verò poſtremum: aut certè illud velut ſpecies, hoc ceu priuatio. Sed de his opportunius in ſequentibus.

*II Deſcriptio boni: & quouſque bona ſint pura: & quomodo intellectus proximè fruatur bono, anima verò per intellectum.*

IN præſentia verò nobis dicẽdum eſt, quæ ſit boni natura, quantum præſens diſputatio poſtulat. Eſt autem hoc à quo omnia pendent, quódve omnia appetunt, accipientia ab ipſo principium eiuſq; penitus indiga: ipſum verò nullius egenum, ipſum ſibi ſufficiens, nihil penitus appetens, menſura omnium atque terminus, ex ſeipſo producens intellectum, eſſentiã, animam, vitam: rurſus actionem circa intellectum. Huc vſq; pulchra ſunt omnia, ipſum verò pulchrum, & ſuper ea quæ ſunt optima, in mundo regnant intelligibili: qui ſanè intellectus eſt: intellectus, inquam, non qualem quis fortè putaret, exiſtimans ſimilem eſſe horum, qui apud nos intellectus eſſe dicuntur, qui ex

ΟἹ ζητοῦντες πόθεν τὰ κακὰ, εἴτ' οὖν εἰς τὰ ὄντα, εἴτε περὶ γένος τῶν ὄντων παρελήλυθεν, ἀρχὴν ἂν προσήκουσαν τῆς ζητήσεως ποιοῖντο, εἰ τί ποτ' ἐστὶ τὸ κακὸν, καὶ ἡ κακοῦ φύσις, πρότερον ὑποθοῖντο. οὕτω γὰρ καὶ ὅθεν ἐλήλυθε, καὶ ὅπου ἵδρυται, καὶ ὅτῳ συμβέβηκε, γνωσθείη, καὶ ὅλως, εἰ ἐστὶν ἐν τοῖς οὖσιν, ὁμολογηθείη. κακοῦ δὲ φύσιν, τίνι ποτὲ δυνάμει τῶν ἐν ἡμῖν γνοίημεν ἂν, τῆς γνώσεως ἑκάστων δι' ὁμοιότητος γιγνομένης, ἄπορον ἂν εἴη. νοῦς μὲν γὰρ καὶ ψυχὴ εἴδη ὄντα, εἰδῶν καὶ τὴν γνῶσιν ἂν ποιοῖντο, καὶ πρὸς αὐτὰ ἂν ἔχοιεν τὴν ὄρεξιν. εἶδος δὲ τὸ κακὸν, πῶς ἄν τις φαντάζοιτο, ἐν ἀπουσίᾳ παντὸς ἀγαθοῦ ἰνδαλόμενον; ἀλλ' εἰ, ὅτι τῶν ἐναντίων ἡ αὐτὴ γένοιτ' ἂν ἐπιστήμη, καὶ τῷ ἀγαθῷ ἐναντίον τὸ κακὸν, ἥπερ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ ἔσται, ἀναγκαῖον περὶ ἀγαθοῦ διϊδεῖν, τοῖς μέλλουσι τὰ * καλὰ γνώσεσθαι· ἐπείπερ προηγούμενα τὰ ἀμείνω τῶν χειρόνων, καὶ εἴδη, τὰ δ' οὔ, ἀλλὰ στέρησις μᾶλλον. ζήτημα δ' ὅμως καὶ πῶς ἐναντίον τῷ ἀγαθῷ τὸ κακόν. εἰ μὴ ἄρα, ὡς τὸ μὲν ἀρχὴ, τὸ δὲ, ἔσχατον· ἢ τὸ μὲν, ὡς εἶδος, τὸ δὲ, ὡς στέρησις. ἀλλὰ ταῦτα μὲν ὕστερον.

* κακὰ

ΝΥ͂Ν δὲ λεγέσθω, τίς ἡ τοῦ ἀγαθοῦ φύσις, καθόσον τοῖς παροῦσι λόγοις προσήκει. ἔστι δ' οὗτο, εἰς ὃ πάντα ἀνήρτηται, καὶ οὗ πάντα τὰ ὄντα ἐφίεται, ἀρχὴν ἔχοντα αὐτὸ, κἀκείνου δεόμενα. τὸ δέ ἐστιν ἀνενδεὲς, ἱκανὸν ἑαυτῷ, μηδενὸς δεόμενον, μέτρον πάντων καὶ πέρας, δοὺς ἐξ αὑτοῦ νοῦν καὶ οὐσίαν, καὶ ψυχὴν, καὶ ζωὴν, καὶ περὶ νοῦν ἐνέργειαν. καὶ μέχρι μὲν τούτου, καλὰ πάντα· αὐτός τε γὰρ ὑπέρκαλος, καὶ ἐπέκεινα τῶν ἀρίστων, βασιλεύων ἐν τῷ νοητῷ: νοῦ ἐκείνου ὄντος, οὐ κατὰ νοῦν, ὃν οἰηθείη ἄν τις, κατὰ τοὺς παρ' ἡμῖν λεγομένους νοῦς εἶναι, τοὺς ἐκ προτάσεως συμπληρουμένους

ρουμένους, καὶ τῶν λεγομένων συνιέναι δυναμένους, λογιζομένους τε καὶ τοῦ ἀκολούθου θεωρίαν ποιουμένους, ὡς ἐξ ἀκολουθίας τὰ ὄντα θεωμένους, ὡς πρότερον οὐκ ἔχοντας, ἀλλὰ κενοὺς ἔτι πρὶν μαθεῖν ὄντας, καίτοι νοῦς ὄντας. οὐδ' ἐκεῖνος ὁ νοῦς τοιοῦτος, ἀλλ' ἔχει πάντα, καὶ σύνεστιν αὐτῷ συνών, καὶ ἔχει πάντα οὐκ ἔχων· οὐ γὰρ ἄλλα, ὁ δὲ ἄλλος· οὐδὲ χωρὶς ἕκαστον τῶν ἐν αὐτῷ. ὅλον τε γάρ ἐστιν ἕκαστον, καὶ πανταχῇ πᾶν, καὶ οὐ συγκέχυται, ἀλλὰ αὖ χωρίς. τὸ γοῦν μεταλαμβάνον, οὐχ ὁμοῦ πάντων, ἀλλ' ὅπου δύναται μεταλαμβάνει. καὶ ἔστι πρώτη ἐνέργεια ἐκείνου, καὶ πρώτη οὐσία, ἐκείνου μένοντος ἐν ἑαυτῷ. ἐνεργεῖ μέντοι περὶ ἐκεῖνον, οἷον περὶ ἐκεῖνον ζῶν. ἡ δὲ ἔξωθεν περὶ τοῦτον χορεύουσα ψυχὴ, περὶ αὐτὸν βλέπουσα, καὶ εἴσω αὐτοῦ θεωμένη, τὸν θεὸν δι' αὐτοῦ βλέπει. καὶ οὗτος θεῶν ἀπήμων, καὶ μακάριος ὁ βίος, καὶ τὸ κακὸν οὐδαμοῦ ἐνταῦθα. καὶ εἰ ἐνταῦθα ἔστη, κακὸν οὐδὲν ἂν ἦν. ἀλλὰ πρῶτα καὶ δεύτερα τἀγαθὰ καὶ τρίτα περὶ τῶν πάντων βασιλέα πάντα ἐστὶ, καὶ ἐκεῖνο αἴτιον πάντων καλῶν, καὶ πάντα ἐστὶν ἐκείνου. καὶ δεύτερον περὶ τὰ δεύτερα, καὶ τρίτον περὶ τὰ τρίτα.

ΕἸ δὴ ταῦτά ἐστι τὰ ὄντα, καὶ τὸ ἐπέκεινα τῶν ὄντων, οὐκ ἂν ἐν τοῖς οὖσι τὸ κακὸν ἐνείη, οὐδὲ ἐν τῷ ἐπέκεινα τῶν ὄντων· ἀγαθὰ γὰρ ταῦτα. λείπεται τοίνυν, εἴπερ ἐστιν, ἐν τοῖς οὐκ οὖσιν εἶναι, οἷον εἶδός τι τοῦ μὴ ὄντος ὄν, καὶ περί τι τῶν μεμιγμένων τῷ μὴ ὄντι, ἢ ὁπωσοῦν κοινωνούντων τῷ μὴ ὄντι. μὴ ὂν δὲ, οὔ τι τὸ παντελῶς μὴ ὂν, ἀλλ' ἕτερον μόνον τοῦ ὄντος. οὐχ οὕτω δὲ μὴ ὂν, ὡς κίνησις καὶ στάσις ἡ περὶ τὸ ὂν, ἀλλ' ὡς εἰκὼν τοῦ ὄντος, ἢ καὶ ἔτι μᾶλλον μὴ ὄν. τοῦτο δέ ἐστι τὸ αἰσθητὸν πᾶν, καὶ ὅσα περὶ τὸ αἰσθητὸν πάθη· ἢ ὕστερόν τι τούτων, καὶ ὡς συμβεβηκὸς τούτοις, ἢ ἀρχὴ τούτων, ἢ ἕν τι τῶν συμπληρούντων τοῦτο, τοιοῦτον ὄν. ἤδη γὰρ ἄν τις εἰς ἔννοιαν ἥκοι αὐτοῦ, οἷον ἀμετρίαν εἶναι πρὸς μέτρον, καὶ ἄπειρον πρὸς πέρας, καὶ ἀνείδεον πρὸς εἰδοποιητικὸν, καὶ ἀεὶ ἐνδεὲς πρὸς αὔταρκες, ἀεὶ ἀόριστον, οὐδαμῇ ἑστὼς, παμπαθὲς, ἀκόρητον, πενία παντελής: καὶ οὐ συμβεβηκότα ταῦτα αὐτῷ, ἀλλ' οἷον οὐσία αὐτοῦ ταῦτα, καὶ ὅ,τι ἂν αὐτοῦ μέρος ἴδοις, καὶ αὐτὸ πάντα ταῦτα. τὰ δ' ἄλλα ὅσα ἂν αὐτοῦ μεταλάβῃ καὶ ὁμοιωθῇ, κακὰ μὲν γίνεσθαι, οὐχ ὅπερ δὲ κακὰ εἶναι. τίνι οὖν ὑποστάσει ταῦτα πάρεστιν, οὐχ ἕτερα ὄντα ἐκείνης, ἀλλ' ἐκείνη. καὶ γὰρ εἰ ἑτέρῳ συμβαίνει τὸ κακὸν, δεῖ τι πρότερον αὐτὸ εἶναι, κἂν μὴ οὐσία τις ᾖ. ὡς γὰρ ἀγαθὸν, τὸ μὲν αὐτὸ, τὸ δὲ * ᾧ συμβέβηκεν· οὕτω καὶ κακόν: τὸ μὲν αὐτὸ, τὸ δὲ ἤδη κατ' ἐκεῖνο συμβεβη-

A propoſitione impleri ſolent, & quæ ratiocinãdo colliguntur percipere poſſunt: item ratiocinantur, quidve ex quoque ſequatur excogitant, & res per conſequentiam ſpeculantur: vtpote qui anteà non habuerint, ſed antequam diſcerent vacui fuerint, quamuis tunc etiã intellectus extiterint. Intellectus ille, inquam, nõ eſt talis, ſed habet omnia, eſt omnia, ſecum habitat, ſibi prorſus vnitus, habet cuncta non habens: non enim ea poſſidet tanquam alia, nec B ipſe exiſtit alius, neque quæ ſunt in eo, ſingula ſegregantur à ſingulis: imò verò quodlibet eſt vniuerſum, & vbique totum, neque tamen confunduntur cuncta, ſed rurſus ſingula diſcernuntur. Quod ergo huius ſit particeps, non ſimul omnia, ſed quod poteſt participat. Eſt item primus actus illius, primaque eſſentia, illo videlicet in ſeipſo manẽte. Agit ſanè circa illũ, tanquam circa illum viuens. Proinde anima extrinſecùs circa hunc ſe verſans ipſum circun- C ſpicit. quinetiam intima eius inſpiciens, per ipſum videt & Deum: atque hęc eſt illæſa, felixque deorũ vita, à malis omnino ſemota. Quòd ſi hîc ſiſteret natura gradum, nuſquam foret malũm. At verò ſunt prima bona, ſunt & ſecunda: ſunt quoque tertia: cunctaque circa regem vniuerſorum: Ipſeque rex bonorum omnium cauſa eſt, & illius gratia omnia. Denique circa ſecundum ſecunda ſunt, & tertia circa tertium.

III

*Malũ nõ eſt in his quę verè ſunt, ſed in his, quæ aut nõ verè ſunt, aut ad illa quæ non verè ſunt, inclinantur.*

D SI hæc entia ſunt, atque hoc eſt quod ſuper entia malum, certè in entibus nuſquam erit: multoque minus in eo, quod entia ſupereminet. Bona enim hęc omnia ſunt. Reliquum eſt igitur: ſicubi malum eſt, in his quę nõ ſunt, reperiri, quaſi quandam non entis ſpeciem: & circa aliquid eorum, quæ non enti miſcentur, vel quomodocunque habeant cum non ente commertium. Non ens, inquam, haudquaquá omnino non ens, ſed tãtùm ab ente diuerſum. E Non ſic verò non ens, vt motus atque ſtatus, quæ circa ens eſſe dicuntur, ſed tanquam entis imaginem, aut etiam ab ente remotius. Id autem eſt ſenſibile vniuerſum, & quotcunque ſunt circa ſenſibile paſſiones: vel aliquid iis poſterius, & quaſi iis accidens, vel horum principium, vel eorum aliquid, quæ id ipſum complent, tale quidem, quale iam dicam. Licet enim id cogitare quaſi quandam immoderationem ſi ad menſuram referatur, infinitum F quoque ad terminum, informe rurſus ad formatorem: item ſemper egenum ad ſufficiens, ſemper indeterminatum, nuſquam omnino quieſcens, omnia vndique patiens, inſatiabile, extremam prorſus inopiam. Neque talia huic accidunt, ſed tanquam ipſius eſſentia eſſe videntur. quinetiam quamcunque ipſius videris portionem, inuenies in qualibet hæc cuncta ſummatim: cætera verò quæcunque id participant, eique aſſimilantur, mala quidem fieri, G neque tamen ipſum eſſe malum. Itaque cuidam fundamento hæc inſunt, non alia quædam ab ipſo, ſed ipſum. Etenim ſi alteri malũ accidit, oportet aliquid prius ipſum eſſe, etiam ſi nulla id eſſentia ſit. Vt enim bonum alterum quidem ipſum exiſtit bonum, alterum verò quod aliis accidit, ſic & malum: hoc quidem ipſum malum eſt, illud autem ſecundùm

hoc accidit alteri. Quænam igitur immoderatio dicet aliquis, nisi in eo, quod immoderatũ? Quæ rursus mensura, nisi in re mensuræ participe? At quemadmodum mensura quædam est in nulla re mensurata, sic & immoderatio extrà subiectum immoderatum. Si enim sit in alio, aut erit in eo quod immoderatum est, sed non eget hoc immoderatione, cùm sit ipsum immoderatum: aut erit in re moderata: verùm nequit quod moderatum est, quatenus moderatum, immoderationem subire. Profectò oportet esse aliquid secundùm se infinitum, atque informe suapte natura, taleque per singula, qualia in superioribus cõmemorauimus describẽtia mali naturam. Præterea siquid præter illud est tale, vel ipsum habet admistum, vel saltem, quoniam ad id spectat, euadit tale: aut quoniam cuiusdam talis est causa. Quamobrẽ naturam figuris, speciebus, formis, mensuris, terminis subditam, ornamentoque præditam alieno, nihil præterea boni ex se possidentem: simulachrum rursus, si cum entibus conferatur, quinetiam mali ipsius essentiam, si qua modò esse potest essentia mali, hãc, inquã, ratio primũ esse malũ, & per se malum ritè conuincit.

*IIII Gradus malorum tres: quomodo in anima malũ: quomodo materia nihil habet boni.*

NATVRA corporum quantum est materiæ particeps, malum quidem est, & si non primum: habet enim speciem quandam, quamuis non veram: priuatur & vita: corruptionem infert inter corpora mutuam, concussionemque ex ipsis inordinatam: impedimẽta quinetiam animæ ad actionem propriam affert: præterea perpetuo fluxu aufugit essentiam, ideoque secundum obtinet mali gradum. Anima verò secundùm se mala non est, neque omnis anima praua. Sed quænam praua? illa videlicet, vt inquit Plato, quæ seruit illi, cui prauitas animæ naturaliter inesse potest: quasi irrationalis animæ species malum subeat, immoderationem, & excessum, atque defectum: ex quibus intemperantia & timiditas, aliaque animæ prauitas, velut passiones inuoluntariæ oriuntur: ex quibus & opiniones falsæ, per quas bona, vel mala quis putet, quæ prosequitur aut fugit. Verùm quidnam prauitatem hanc adducit? Et quomodo in principiũ illud, causamq; redigere poteris? Primò quidem dicetur, animam eiusmodi non esse extra materiam, neque secundùm seipsam talem esse: itaque immoderationi miscetur, specieique ornantis, & moderantis expers euadit: corpori namque materiam habẽti immergitur. Præterea si vis rationalis offenditur, discernere prohibetur perturbationibus offuscata, & materiæ tenebris obruta, vtpote quæ annuendo prolabitur in materiam: & omnino non ad essentiam, sed ad generationem spectat. cuius origo est natura materiæ, vsque adeò mala, vt illud etiam quod nondum est in ea, solùm verò eam prospicit, suo impleat malo. Nùm enim boni omnino sit expers, boniq; priuatio sit, purusque defectus, nimirum quicquid quomodocunque attingit eam, sibi simile reddit. Perfecta igitur anima, vergensque ad mentem, semper pura est, procul à se materiam eliminans, & omne interminatũ, immoderatũ, malũ, neque his ꝓpinquat, neq; prospicit quidem: quamobrem pura permanet, intellectu

A πρὸς ἑτέρῳ. τί οὖν ἀμετρία, εἰ μὴ ἐν τῷ ἀμέτρῳ; τί δὲ μέτρον, εἰ μὴ ἐν τῷ μεμετρημένῳ; ἀλλ' ὥσπερ ἐστὶ μέτρον μὴ ἐν τῷ μεμετρημένῳ, οὕτω καὶ ἀμετρία οὐκ ἐν ἀμέτρῳ· εἰ γὰρ ἐν ἄλλῳ, ἢ ἐν ἀμέτρῳ, ἀλλ' οὐ δεῖ αὐτῷ ἀμετρίας, αὐτῷ ἀμέτρῳ ὄντι· ἢ ἐν μεμετρημένῳ, ἀλλ' οὐχ οἷόν τε τὸ μεμετρημένον ἀμετρίαν ἔχειν, καθὸ μεμέτρηται. καὶ οὖν εἶναί τι καὶ ἄπειρον καθ'
B αὑτὸ, καὶ ἀνείδεον αὖ αὐτὸ, καὶ τὰ ἄλλα, τὰ πρόσθεν, ἃ τὴν τοῦ καλοῦ ἐχαρακτήριζε φύσιν. καὶ εἴ τι μετ' ἐκεῖνο τοιοῦτον, ἢ μεμιγμένον ἔχει τοῦτο, ἢ βλέπον πρὸς αὐτό ἐστι τοιοῦτον, ἢ ποιητικόν ἐστι τοιούτου. τὴν δὴ ὑποκειμένην σχήμασι, καὶ εἴδεσι, καὶ μορφαῖς, καὶ μέτροις, καὶ πέρασι, καὶ ἀλλοτρίῳ κόσμῳ κοσμουμένην, μηδὲν παρ' αὑτῆς ἀγαθὸν ἔχουσαν, εἴ-
C δωλον δὲ ὡς πρὸς τὰ ὄντα, κακοῦ δὲ οὐσίαν, εἴ τις καὶ δύναται κακοῦ οὐσία εἶναι, ταύτην ἀνευρίσκει ὁ λόγος κακὸν εἶναι πρῶτον, καὶ καθ' αὑτὸ κακόν.

ΣΩΜΑ'ΤΩΝ δὴ φύσις, καθόσον μετέχει ὕλης, κακὸν ἂν οὐ πρῶτον εἴη. ἔχει μὲν γὰρ εἶδός τι οὐκ ἀληθινὸν, ἐστέρηταί τε ζωῆς, φθείρει τε ἄλληλα, φορά τε παρ' αὐτῶν ἄτακτος,
D ἐμπόδιά τε ψυχῆς, πρὸς τὴν αὐτῆς ἐνέργειαν, φεύγει τε οὐσίαν ἀεὶ ῥέοντα, δεύτερον κακόν. ψυχὴ δὲ καθ' ἑαυτὴν μὲν οὐ κακὴ, οὐδ' αὖ πᾶσα κακή. ἀλλὰ τίς ἡ κακή; οἷον, φησὶ, δουλωσαμένῳ μὲν, ᾧ πέφυκε κακία ψυχῆς ἐγγίνεσθαι, ὡς τοῦ ἀλόγου τῆς ψυχῆς εἴδους, τὸ κακὸν δεχομένου, ἀμετρίαν, καὶ ὑπερβολὴν, καὶ ἔλλειψιν, ἐξ ὧν καὶ ἀκολασία, καὶ δειλία, καὶ ἡ ἄλλη ψυχῆς κακία, ἀκούσια πα-
E θήματα, δόξας ψευδεῖς ἐμποιοῦντα, κακά τε νομίζειν καὶ ἀγαθὰ, ἃ φεύγει τε καὶ διώκει. ἀλλὰ τί τὸ πεποιηκὸς τὴν κακίαν ταύτην, καὶ πῶς εἰς ἀρχὴν ἐκείνην καὶ αἰτίαν ἀνάξεις; ἢ πρῶτον μὲν οὐκ ἔξω ὕλης, οὐδὲ καθ' αὑτὴν εἶναι ἡ ψυχὴ ἡ τοιαύτη. μέμικται οὖν ἀμετρίᾳ, καὶ ἄμοιρος εἴδους τοῦ κοσμοῦντος καὶ εἰς μέτρον ἄγοντος· σώματι γὰρ ἐγκέκραται, ὕλην
F ἔχοντι. ἔπειτα δὲ καὶ τὸ λογιζόμενον εἰ βλάπτοιτο, ὁρᾶν κωλύεται, καὶ τοῖς πάθεσι, καὶ τῷ ἐπισκοτεῖσθαι τῇ ὕλῃ, καὶ πρὸς ὕλην * νενευμένον, καὶ ὅλως οὐ πρὸς οὐσίαν, ἀλλὰ πρὸς γένεσιν ὁρᾶν, ἧς ἀρχὴ ἡ ὕλης φύσις οὕτως οὖσα κακὴ, ὡς καὶ τὸ μήπω ἐν αὐτῇ, μόνον δὲ βλέψαν εἰς αὐτὴν, ἀναπιμπλάναι κακοῦ ἑαυτῆς. ἄμοιρος γὰρ παντελῶς οὖσα ἀγα-
G θοῦ, καὶ στέρησις τούτου, καὶ ἄκρατος ἔλλειψις, ἐξομοιοῖ ἑαυτῇ πᾶν ὅ, τι ἂν αὐτῆς προσάψηται ὁπωσοῦν. ἡ μὲν οὖν τελεία καὶ πρὸς νοῦν νεύουσα ψυχὴ, ἀεὶ καθαρὰ, καὶ ὕλην ἀπέστραπται, καὶ τὸ ἀόριστον ἅπαν, καὶ τὸ ἄμετρον καὶ κακὸν, οὔτε ὁρᾷ, οὔτε πελάζει. καθαρὰ οὖν μένει

ὁρισθεῖσα

ὁρισθεῖσα νῷ παντελῶς. ἡ δὲ μὴ μείνασα τοῦτο, ἀλλ' ἐξ αὐτῆς προελθοῦσα, τὸ μὴ τελείῳ μηδὲ πρώτῳ, οἷον ἴνδαλμα ἐκείνης, τὸ ἐλλείμματι, καθόσον ἐνέλιπεν, ἀοριστίας πληρωθεῖσα, σκότος ὁρᾷ, καὶ ἔχει ἤδη ὕλην, βλέπουσα εἰς ὃ μὴ βλέπει, ὡς λεγόμεθα, ὁρᾶν καὶ τὸ σκότος.

Ἀλλ' εἰ ἔλλειψις τοῦ ἀγαθοῦ αἰτία τοῦ ὁρᾶν καὶ συνεῖναι τῷ σκότει, τὸ κακὸν εἴη ἂν ἐν τῇ ἐλλείψει, ἢ τῷ σκότῳ τῇ ψυχῇ, καὶ πρῶτον. δεύτερον δὲ ἔστω, τὸ σκότος καὶ ἡ φύσις τοῦ κακοῦ, οὐκ ἔτι ἐν τῇ ὕλῃ, ἀλλὰ καὶ πρὸ τῆς ὕλης· ἢ οὐκ ἐν τῇ ὁπωσοῦν ἐλλείψει, ἀλλ' ἐν τῇ παντελεῖ τὸ κακόν. τὸ γοῦν ἐλλεῖπον ὀλίγον τοῦ ἀγαθοῦ, οὐ κακόν· δύναται γὰρ καὶ τέλεον εἶναι, ὡς πρὸς φύσιν τὴν αὐτοῦ. ἀλλ' ὅταν παντελῶς ἐλλείπῃ, ὅπερ ἐστὶν ἡ ὕλη, τοῦτο τὸ ὄντως κακὸν μηδεμίαν ἔχον ἀγαθοῦ μοῖραν. οὐδὲ γὰρ τὸ εἶναι ἔχει ἡ ὕλη, ἵνα ἀγαθοῦ ταύτῃ μετεῖχεν, ἀλλ' ὁμώνυμον (αὐτῇ τὸ εἶναι) ὡς ἀληθῶς εἶναι λέγειν (αὐτὸ μὴ εἶναι.) ἡ οὖν ἔλλειψις, ἔχει μὲν τὸ μὴ ἀγαθὸν εἶναι· ἡ δὲ παντελής, τὸ κακόν· ἡ δὲ πλείων, τὸ πεσεῖν εἰς τὸ κακὸν δύνασθαι, καὶ ἤδη κακόν. τῷ χρὴ δὴ τὸ κακὸν νοεῖσθαι, μὴ τόδε τὸ κακόν, οἷον ἀδικίαν ἢ ἄλλην τινὰ κακίαν, ἀλλ' ἐκεῖνο ὃ οὐδὲν * μήπω τοῦτο, ταῦτα δέ, οἷον εἴδη ἐκείνων, προσθήκαις εἰδοποιούμενα· οἷον ἐν μὲν ψυχῇ, πονηρία· καὶ ταύτης αὖ εἴδη, ἢ ὕλῃ περὶ ἣν, ἢ τοῖς μέρεσι τῆς ψυχῆς, ἢ τῷ, τὸ μὲν οἷον ὁρᾶν εἶναι, τὸ δὲ * ὁρᾶν ἢ πάσχειν. εἰ δέ τις θεῖτο καὶ τὰ ἔξω ψυχῆς κακὰ εἶναι, πῶς ἐπ' ἐκείνην τὴν φύσιν ἀνάξει, οἷον νόσον, πενίαν; ἢ νόσον μέν, ἔλλειψιν καὶ ὑπερβολὴν σωμάτων ἐνύλων, τάξιν καὶ μέτρον οὐκ ἀνεχομένων· αἶσχος δέ, ὕλην οὐ κρατηθεῖσαν εἴδει· πενίαν δέ, ἔνδειαν καὶ στέρησιν ὧν ἐν χρείᾳ ἐσμέν, διὰ τὴν ὕλην, ᾗ συνεζεύγμεθα, φύσιν ἔχουσαν χρησμοσύνην εἶναι. εἰ δὴ ταῦτα ὀρθῶς λέγεται, οὐ θετέον ἡμᾶς ἀρχὴν κακῶν εἶναι, κακοὺς παρ' αὐτῶν ὄντας, ἀλλὰ πρὸ ἡμῶν ταῦτα· ἃ δ' ἂν ἀνθρώπους κατάσχοι, κατέχειν οὐχ ἑκόντας, ἀλλ' εἶναι μὲν ἀποφυγὴν κακῶν τῶν ἐν ψυχῇ τοῖς δυνηθεῖσι, πάντας δὲ οὐ δύνασθαι. θέσις δέ, ὕλης παρούσης τοῖς αἰσθητοῖς, τὸ κακὸν μὴ παρεῖναι τὴν κακίαν ἣν ἄνθρωποι ἔχουσιν, ὅτι μηδὲ ἀνθρώποις ἅπασι. (κρατεῖν γὰρ αὐτῆς) ἀμείνους δὲ οἷς μὴ πάρεστι καὶ τούτῳ· κρατεῖν δέ, τῷ μὴ ἐν ὕλῃ ἐν αὐτοῖς ὄντι.

ἘΠΙΣΚΕΠΤΕΟΝ δέ, καὶ πῶς λέγεται, μὴ ἂν ἀπολέσθαι τὰ κακά, ἀλλ' εἶναι ἐξ ἀνάγκης. καὶ ἐν θεοῖς μὲν οὐκ εἶναι, περιπολεῖν δὲ δὴ τὴν θνητὴν φύσιν, καὶ τόνδε τὸν τόπον ἀεί. ἆρ' οὖν οὕτως εἴρηται, ὡς τοῦ μὲν οὐρανοῦ

* μίνπω

* ὁρμᾶν

A prorsus determinata. Quæ verò munus id nō sustinet, sed ex seipsa progreditur in gradu quodam existens, neque perfecto, neque primo, velut illius imago, ob ipsum defectum, quatenus deficit, inde terminata sorte repletur, tenebrásque prospectat. Iamque habet materiam, in illud aspiciens quod non cernit: & vt dici solet, tenebras aspicit.

V

*In quo defectu consistat malū: quomodo materia sit ipsum malū: quomodo fiat malū in anima.*

CÆTERVM si boni defectus causa est, vt anima videat tenebras eisque mergatur, ma-
B lum animæ erit in defectu tenebrisve situm, idq; malum erit primum. Secundum verò sit tenebrositas ipsa malique natura, nō in materia primùm, sed etiam ante materiam: aut certè non in quouis defectu, sed in defectu vniuerso consistit malum. Quod igitur parum à bono deficit, nondum est malum: potest enim pro natura sua esse perfectum: imò quod penitus deficit, qualis est materia, id re vera malum est, nullam boni possidens portionem. Materia sa-
C nè neque esse habet (cuius munere bonum habere potuerit) sed esse de ipsa æquiuocè dicitur. Defectus igitur sortitur, vt non sit bonum, defectus autem vniuersus sortitur, vt sit ipsum malum: defectus verò medius est, posse in malum cadere, quod iam est malum. Vnde oportet malum excogitare, non hoc quidem malū, velut iniustitiam, vel aliam quandam prauitatem, sed illud, quod nondum horum quicquā est: sed hæc quasi illius species sunt additamē-
D tis quibusdam distinctæ: velut in anima quidē prauitas: rursusque huius species vel secundùm materiam circa quam est: vel secundùm quasdam animæ partes: vt ex eo, quod partim quidem aspicit, partim verò appetendo incitatur, partim denique patitur. Siquis autem extra animam quoque mala posuerit, querendū est, quomodo ad naturam illam mali reducat ceu morbum, deformitatem, paupertatē? Fortè verò morbum dicent esse defectum, aut ex-
E cessum in corporibus compositis ex materia, ordinem & mensuram non sustinentibus: deformitatem verò esse materiam forma minimè superatam, paupertatem denique, egestatem, priuationemque eorum quibus egemus, ob materiam cui coniungimur, sic natura institutam, vt ipsa sit indigentia. Proinde si hæc rectè dicuntur, non est dicendum, nos malorum esse principium, quasi ex natura propria mali simus, sed ante nos hæc esse: quæ verò vitia ho-
F mines occupant, detineri his ipsos nolentes: attamen præstari malorum animi fugam, animis videlicet id potentibus, non omnes autē posse. Positio verò materiæ corporum, naturæ præsentis malum est: neque enim ipsum malum est prauitas hominum: quandoquidem non omnibus inest hominibus (datur enim eius superandæ facultas) præstantiores certè sunt, quibus id quoque non accidit. Superant
G denique eo, quod in ipsis est à materia segregatum.

VI

*Quomodo aliquid bono contrariū sit, quomodo formæ à materia separatæ sint contrariæ.*

OPERAEPRETIVM est intelligere, qua ratione potissimùm à Platone dictum sit, Mala omnia deleri non posse, sed ex necessitate venire. Neque apud deos esse, sed apud mortalem naturam, inferioremque hunc locum assiduè circumuolui. Nunquid igitur ita dictum est, quoniam cælum quidem semper liberum

sit à malis? Quippe cùm ordine perpetuo moueatur, & ornamento feratur, neque iniustitia neque iniquitas alia ibi sit, neque cælestia sibi inuicem iniuriam inferant, ornata moderatione perducta: in terra verò iniustitia, ordinisq; expers sit iniquitas. hæc enim est natura mortalis, locusque inferior. Verùm quòd inquit, hinc aufugiendum esse, nequaquam de terrenis locis est dictum. Fuga enim est, inquit, non à terra discedere, sed hominem etiam in terra viuentem iustum & sanctum vnà cum prudentia fieri: perinde ac si dicatur, aufugiendam prauitatem esse, quasi mala homini sint tum prauitas, tum quæ ex prauitate nascuntur. Tum verò cùm Theodorus diceret, posse mala de medio tolli, si modò quæ dicat, hominibus persuaserit, Socrates fieri id posse negauit: mala enim ait necessariò euenire: quippe cùm necessarium sit aliquid bono subcontrarium esse. At verò qua ratione fieri potest, vt humanum malum, id est, prauitas, ipsi bono contrarium sit? nẽpe contrariũ hoc est virtuti. Virtus autẽ non ipsum bonũ est, sed quoddã bonum, quod quidem efficit, vt materiæ dominemur. Ipsi autem bono quomodo aliquid contrariũ erit? nõ enim est quale. Præterea quidnam cogit vbiq;, si alterũ contrariorũ extat, alterũ rursus extare? Verùm esse quidem possit, atque si contrarium, quandoquidẽ & cõtrarium eius existat: velut existente sanitate, potest & morbus esse, neque tamen necessariò prouenit. Fortè non putat Plato, in quolibet contrariorum ordine eiusmodi necessitatem esse veram, sed in ipso boni contrario. At si ipsum bonum essentia est, vel potius super essentiam, quidnam potest ei esse contrarium? Quòd igitur nihil essentiæ sit contrarium, id in singulis essentiis per inductionem satis est manifestum. Vtrum verò ipsi simpliciter essentiæ contrarium aliquid sit, nõdum est demonstratum. Sed quidnam ipsi vniuersali essentiæ contrarium esse poterit, atque omnino primis vniuersi principiis? Fortè verò ipsi quidem essentiæ erit contrarium non essentia: boni verò naturæ contrarium, si qua est mali natura atque principium. Principia enim vtraque sunt, id quidem bonorum, illud verò malorum: atque omnia quæ in alterutra natura sunt, inter se contraria sunt. quocirca & ipsa tota contraria, magisque contraria sunt quàm cætera. Alia namque contraria, vel in eadem specie, vel in eodem genere collocãtur, & in quibuscunque sunt, communi quodam conueniunt: quæ verò sunt seorsum, atque ita se habent, vt quę naturam implent alterius, contraria sint eorum, quæ naturã alterius implent: quidnam prohibet maximè inter se esse contraria? si modò contraria sunt, quæ interuallo à se inuicẽ longissimo distant. Termino sanè, atq; mensuræ & cæteris, quæ diuinæ naturæ sunt ꝓpria, cõtraria sunt infinitudo, immoderatioque, & reliqua quotcunque in natura mali esse dicũtur. quapropter vniuersum est vniuerso contrariũ. Alterũ profectò esse fallacissimũ habet, ac primò vereq; falsum atq; mẽdaciũ: alterius autẽ esse est verè esse: itaq; illius falsitas huius veritati repugnat. Rursus quod secũdum illius essentiã est, ei quod secũdum huius essentiã est, opponitur. Quas ob res satis cõstat,

A καθαροῦ κακῶν ὄντος, ἀεὶ ἐν τάξει ἰόντος, καὶ κόσμῳ φερομένου, καὶ μήτε ἀδικίας ἐκεῖ οὔσης, μήτε ἄλλης κακίας, μήτε ἀδικούντων ἄλληλα, κόσμῳ δὲ φερόμενα· ἐν γῇ δὲ τῆς ἀδικίας καὶ τῆς ἀταξίας οὔσης, τοῦτο γάρ ἐστιν ἡ θνητὴ φύσις, καὶ ὅδε ὁ τόπος. ἀλλὰ τὸ ἐντεῦθεν φεύγειν δεῖ, οὐκ ἐπὶ τῶν ἐπὶ γῆς λέγεται. φυγὴ γάρ, φησιν, οὐ τὸ ἐκ γῆς * γινόμενα
B ἀπελθεῖν, ἀλλὰ καὶ ὄντα ἐπὶ γῆς, δίκαιον, καὶ ὅσιον εἶναι μετὰ φρονήσεως, ὡς εἶναι τὸ λεγόμενον. φεύγειν κακίαν δεῖν, ὥστε τὰ κακὰ αὐτῷ ἡ κακία, καὶ ὅσα ἐκ κακίας: καὶ τοῦ προσδιαλεγομένου δὲ, ἀναίρεσιν λέγοντος κακῶν ἔσεσθαι, εἰ πείθοι τοὺς ἀνθρώπους ἃ λέγει· ὁ δέ φησι, μὴ δύνασθαι τοῦτο γενέσθαι, τὰ γὰρ κακὰ εἶναι ἀνάγκη· ἐπείπερ τοὐναντίον τι δεῖ εἶναι
C τῷ ἀγαθῷ. τὴν μὲν οὖν κακίαν τὴν περὶ ἄνθρωπον, πῶς οἷόν τε ἐναντίον εἶναι ἐκείνῳ τῷ ἀγαθῷ; ἐναντίον γὰρ τοῦτο τῇ ἀρετῇ, αὕτη δὲ, οὐ τὸ ἀγαθὸν, ἀλλὰ ἀγαθὸν ὃ κρατεῖν τῆς ὕλης ποιεῖ. ἐκείνῳ δὲ τῷ ἀγαθῷ, πῶς ἄν τι εἴη ἐναντίον; οὐ γὰρ δὴ ποιόν. εἶτα τίς ἀνάγκη πανταχοῦ, εἰ θάτερον τῶν ἐναντίων, καὶ θάτερον; ἐνδεχέσθω μὲν γὰρ, καὶ ἔστω γε καὶ τὸ ἐναντίον, τοῦ ἐναντίου αὐτῷ ὄντος· οἷον ὑγιείας οὔ-
D σης, ἐνδέχεται καὶ νόσον εἶναι, οὐ μὴν ἐξ ἀνάγκης. ἢ οὐκ ἀνάγκη λέγειν αὐτὸ ὡς ἐπὶ παντὸς ἐναντίου τοῦτο ἀληθές, ἀλλ᾽ ἐπὶ τοῦ ἀγαθοῦ εἴρηται. ἀλλ᾽ εἰ οὐσία τἀγαθὸν, πῶς ἐστιν αὐτῷ τι ἐναντίον, ἢ τῷ ἐπέκεινα οὐσίας; τὸ μὲν οὖν μὴ εἶναι μηδὲν οὐσίᾳ ἐναντίον, ἐπὶ τῶν καθ᾽ ἕκαστα οὐσιῶν ἐστι πιστὸν, τῇ ἐπαγωγῇ δεδειγμένον· ὅλως δὲ οὐσίᾳ οὐκ ἔστι δεδειγ-
E μένον. ἀλλὰ τί τῇ καθόλου οὐσίᾳ ἔσται ἐναντίον, καὶ ὅλως τοῖς πρώτοις; ἢ τῇ μὲν οὐσίᾳ, ἡ μὴ οὐσία· τῇ δὲ ἀγαθοῦ φύσει, ἥτις ἐστὶ κακοῦ φύσις καὶ ἀρχή. ἀρχαὶ γὰρ ἄμφω, ἡ μὲν κακῶν, ἡ δὲ ἀγαθῶν· καὶ πάντα τὰ ἐν τῇ φύσει ἑκάτερα ἐναντία. * οὐκ αὐτὸ ὥστε καὶ τὰ ὅλα ἐναντία, καὶ μᾶλλον ἐναντία, ἢ τὰ ἄλλα. τὰ μὲν γὰρ ἄλλα ἐναντία, ἢ ἐν τῷ αὐτῷ εἴδει ὄντα, ἢ ἐν
F τῷ αὐτῷ γένει, καὶ κοινοῦ τινος ἐστὶ μετειληφότα ἐν οἷς ἐστιν. ὅσα δὲ χωρὶς ἐστὶ, καὶ ἃ τῷ ἑτέρῳ ἐστὶ, συμπληρώσει τοῦ ὅ ἐστι, τούτων τἀναντία ἐν τῷ ἑτέρῳ ἐστὶ, πῶς οὐ μάλιστα ἂν εἴη ἐναντία, εἴπερ ἐναντία τὰ πλεῖστον ἀλλήλων ἀφεστηκότα; πέρατι δὴ καὶ μέτρῳ, καὶ τὰ ἄλλα ὅσα ἔνεστιν ἐν τῇ θείᾳ φύσει, ἀπειρία καὶ ἀμετρία, καὶ τὰ ἄλλα ὅσα ἔχει ἡ κακὴ φύσις ἐναντία. ὥστε καὶ τὸ ὅλον τῷ ὅλῳ ἐναν-
G τίον. καὶ τὸ εἶναι δὲ ψευδόμενον ἔχει, καὶ πρώτως καὶ ὄντως ψεῦδος. τῷ δὲ τὸ εἶναι τὸ ἀληθὲς εἶναι. ὥστε καὶ ἀληθῶς κατὰ τὸ ψεῦδος τῷ ἀληθεῖ ἐναντίον, καὶ τὸ κατ᾽ οὐσίαν τῷ κατ᾽ οὐσίαν αὐτῆς ἐναντίον. ὥστε ἡμῖν ἀναπέφανται.

τὸ μὴ πανταχοῦ οὐσίαν, μηδὲν εἶναι ἐναντίον· ἐπεὶ καὶ ἐπὶ πυρὸς καὶ ὕδατος, ἐδεξάμεθα ἂν εἶναι ἐναντία, εἰ μὴ κοινὸν ἦν ἡ ὕλη ἐν αὐτοῖς, ἐφ' ἧς τὸ θερμὸν, καὶ ξηρὸν, καὶ ὑγρὸν, καὶ ψυχρὸν, συμβεβηκότα ἐγίγνετο. εἰ δ' ἐπ' αὐτῶν ἦν μόνα τὴν οὐσίαν αὐτῶν συμπληροῦντα ἄνευ τοῦ κοινοῦ, ἐγίγνετο ἂν ἐναντίον, καὶ ἐνταῦθα, οὐσία οὐσίᾳ ἐναντίον. τὰ ἄρα πάντα κεχωρισμένα, καὶ μηδὲν ἔχοντα κοινὸν, καὶ πλείστην ἀπόστασιν ἔχοντα, ἐν τῇ φύσει αὐτῶν ἐναντία: ἐπείπερ ἡ ἐναντίωσις οὐχ ἡ ποιότης, οὐδὲ ὅλως ὁτιοῦν γένος τῶν ὄντων, ἀλλ' ἡ πλεῖστον ἀλλήλων κεχωρίσθαι, καὶ ἐξ ἀντιθέτων συνεστηκε, καὶ τὰ ἐναντία ποιεῖ.

ἈΛΛΑ πῶς οὖν ἐξ ἀνάγκης, εἰ τὸ ἀγαθὸν, καὶ τὸ κακόν; ἆρα οὖν οὕτως ὅτι ἐν τῷ παντὶ τὴν ὕλην εἶναι δεῖ; ἐξ ἐναντίων γὰρ ἐξ ἀνάγκης τὸ δὲ τὸ πᾶν· ἢ οὐδ' ἂν εἴη, μὴ ὕλης οὔσης. μεμιγμένη γὰρ οὖν δὴ ἡ τοῦδε τοῦ κόσμου φύσις, ἔκ τε νοῦ καὶ ἀνάγκης. καὶ ὅσα παρὰ θεοῦ εἰς αὐτὸν ἥκει, ἀγαθά· τὰ δὲ κακὰ, ἐκ τῆς ἀρχαίας φύσεως, τὴν ὕλην λέγων τὴν ὑποκειμένην, οὔπω κοσμηθεῖσαν εἰ θεῷτο. ἀλλὰ πῶς θνητὴν φύσιν; τὸ μὲν γὰρ τόνδε τὸν *τρόπον, ἔσω δεικνύειν τὸ πᾶν· ἢ τὸ, Ἀλλ' ἐπείπερ ἐγένεσθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ, οὔτι γε μὴν λυθήσεσθαι δι' ἐμέ. εἰ δὴ οὕτως; ὀρθῶς ἂν λέγοιντο, μὴ ἂν ἀπολέσθαι τὰ κακά. πῶς οὖν ἐκφεύξεται; οὐ τῷ τόπῳ, φησὶν, ἀλλ' ἀρετὴν κτησάμενος, καὶ τοῦ σώματος αὑτὸν χωρίσας· οὕτω γὰρ καὶ ὕλης. ὡς ὅγε συνὼν τῷ σώματι, καὶ ὕλῃ σύνεστι. τὸ δὲ χωρίσαι καὶ μὴ, δηλόν που αὐτὸν ποιεῖ. τὸ δ' ἐν θεοῖς εἶναι, ἐν τοῖς νοητοῖς· οὗτοι γὰρ ἀθάνατοι. ἔστι δὲ τοῦ *καλοῦ λαβεῖν καὶ οὕτω τὴν ἀνάγκην. ἐπεὶ γὰρ, οὐ μόνον τὸ ἀγαθὸν, ἀνάγκη τῇ ἐκβάσει τῇ παρ' αὐτὸ ὑποστάσει. ἢ εἰ οὕτω τις ἐθέλει λέγειν, τῇ ἀεὶ ὑποβάσει καὶ ἀποστάσει τὸ ἔσχατον, καὶ μετ' ὃ οὐκ ἦν ἔτι γίνεσθαι ὁτιοῦν, τοῦτο εἶναι τὸ κακόν. ἐξ ἀνάγκης δὲ εἶναι, τὸ μετὰ τὸ πρῶτον, ὥστε καὶ τὸ ἔσχατον. τοῦτο δὲ ἡ ὕλη, μηδὲν ἔτι ἔχουσα αὐτοῦ. καὶ αὕτη ἡ ἀνάγκη τοῦ κακοῦ.

ΕἸ δέ τις λέγοι, μὴ διὰ τὴν ὕλην ἡμᾶς γίνεσθαι κακοὺς, μήτε γὰρ τὴν ἄγνοιαν διὰ τὴν ὕλην εἶναι, μήτε τὰς ἐπιθυμίας τὰς πονηράς. καὶ γὰρ, εἰ διὰ σώματος κακίαν ἡ σύστασις γίγνοιτο, μὴ τὴν ὕλην, ἀλλὰ τὸ εἶδος ποιεῖν· οἷον θερμότητας, ψυχρότητας, πικρὸν, ἁλμυρὸν, καὶ ὅσα χυμῶν εἴδη· ἔτι δὲ πληρώσεις, κενώσεις· καὶ πληρώσεις οὐχ ἁπλῶς, ἀλλὰ πληρώσεις τοιῶνδε, καὶ ὅλως τὸ τοιόνδε εἶναι, τὸ ποιοῦν τὴν διαφορὰν τῶν ἐπιθυμιῶν, καὶ, εἰ βούλει, δοξῶν ἐσφαλμένων, ὥστε τὸ εἶδος μᾶλλον, ἢ τὴν ὕλην τὸ κακὸν εἶναι. καὶ οὕτως οὐδὲν ἧττον τὴν ὕλην συγχωρεῖν

*τόπον

*κακοῦ

A non vbique videri verum, nihil essentiæ contrariũ esse, quoniã ignẽ & aquã confiteremur esse contraria, etiã si non subesset illis communis materia:in quibus calor,frigus,humor, siccitas accidentia sunt. Si autẽ in seipsis essent sola,essentiã ipsorũ absque cõmuni subiecto complentia,tunc quoque contraria forent,essentia videlicet essentiæ. Quæ igitur segregata inter se sunt omnino,communeque nihil habent,ac interuallum habent quamplurimùm, in ipsa B sui natura contraria sunt: quandoquidem contrarietas non fit qua ratione quale quiddam sint,neque omnino secundùm quoduis rerum genus:sed quia plurimùm inter se distant.item qua ex oppositis constituuntur, & contraria faciunt.

